# TEZAUR LITURGIC

## 7 AUGUST

## GHERASIM MIKRAGHIANANITUL

# ACATISTUL SF.CUVIOS TEODOSIE DE LA ARGOS

ARGOS,1998


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΕΡΕΙΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΘΕΟΔΟΣΙΟΝ ΤΟΝ ΝΕΟΝ ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ ΑΡΓΟΛΙΔΟΣ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Κοντάκιον. Ήχος πλ. δ'. Τη υπερμάχω.

Τη θεοσδότω δωρεά καλλωπιζόμενος των ιαμάτων αναβλύζεις χάριν άφθονον τοις προστρέχουσι τη σκέπη σου θεοφόρε. Άλλ' ως δόξης κοινωνός της υπέρ έννοιαν μη ελλείπης πάσης θλίψεως λυτρούμενος τους βοώντάς σοι, χαίροις Πάτερ Θεοδόσιε.

Άγγελος εν ασκήσει, αληθώς ανεδείχθης, Θεοδόσιε Όσιε Πάτερ (εκ γ')˙ και νυν Αγγέλων δήμοις συνών, πάσι πηγάζει αεί χάριν άφθονον, τοις πίστει καταφεύγουσι, τη σκέπη σου και εκβοώσι.

Χαίρε Θεού φερώνυμος δόσις

Χαίρε εχθρού πολύστονος πτώσις

Χαίρε απαθείας λειμών ευωδέστατος

Χαίρε ευκληρίας ρεούσης υπέρτερος

Χαίρε ύψος ταπεινώσεως δια βίου υψηλού

Χαίρε βάθος θείας χάριτος εν δυνάμει του Θεού

Χαίρε ότι πηγάζεις ιαμάτων πελάγη

Χαίρε ότι ιάσαι παθημάτων τα άλγη

Χαίρε αστήρ λαμπρός της ασκήσεως

Χαίρε πρηστήρ απάτης του χείρονος

Χαίρε δι' ου θείας χάρις εκλάμπει

Χαίρε δι' ου ο αλάστωρ στενάζει

Χαίροις Πάτερ Θεοδόσιε.

Βλάστημα θείον πέλων, πόλεως Αθηναίων, προήλθες ευκλεούς ριζουχίας, και γεωργία ασκητική, εις εκατόν Πάτερ εκαρποφόρησας, καρποφορίαν κρείττονα, δι' ής εκτρέφεις τους βοώντας.

Αλληλούϊα.

Γνώμη τελειοτάτη, εκ νεότητος Πάτερ, το κρείττον νουνεχώς εξελέξω. Και ζήλω των Οσίων ανδρών, πορευθήναι τοις ίχνεσιν επόθησας, διο την σην επίδοσιν, αγάμενοι αναβοώμεν.

Χαίρε ο πλήρης θείας αγάπης

Χαίρε ο πόρρω συγχύσεως πάσης

Χαίρε εννοιών ουρανίων θησαύρισμα

Χαίρε δωρεών θεοσδότων εναύλισμα

Χαίρε άνθραξ θείου έρωτος φλέγων ύλην γεηράν

Χαίρε σκεύος θείου Πνεύματος, πνέον αύραν νοεράν

Χαίρε ότι εδέξω την ουράνιον φλόγα

Χαίρε ότι παρέχεις το θεόρρυτον πόμα

Χαίρε σαρκός νεκρώσας το φρόνημα

Χαίρε ψυχής λαμπρύνας τα όμματα

Χαίρε φθαρτών τας ιδέας μισήσας

Χαίρε παθών τας κινήσεις εκτίλας

Χαίροις Πάτερ Θεοδόσιε.

Δέδωκας τοις πεινώσι, την σην ύπαρξιν Πάτερ, πειθόμενος Κυρίου τοις λόγοις. Κρείττονα γαρ ύπαρξιν ποθών, την αεί εν ουρανοίς διαμένουσαν, έξω κόσμου γέγονας δι’ ασκήσεως Χριστώ κραυγάζων.

Αλληλούϊα.

Έλιπες την πατρίδα, και τας κάτω ευκλείας, αγάπη τετρωμένος αγία και αρνησάμενος σεαυτόν, ασκητικώς τω Χριστώ ηκολούθησας. Και δοξασθείς τη χάριτι, ακούεις παρά πάντων ταύτα.

Χαίρε Χριστού ο θείος θεράπων

Χαίρε αυτού την χάριν εκλάμπων

Χαίρε των Αγγέλων τον βίον μιμούμενος

Χαίρε των δαιμόνων το σμήνος τροπούμενος

Χαίρε φως εν τη καρδία σου δεδεγμένος θεϊκόν

Χαίρε ζόφον τον ψυχόλεθρον διαλύων των παθών

Χαίρε ότι ηρνήσω σεαυτόν θεοφρόνως

Χαίρε ότι απέστης των φθαρτών ολοτρόπως

Χαίρε Χριστού ενώσεως έσοπτρον

Χαίρε καλών της χάριτος έλυτρον

Χαίρε ζωής εραστής ισαγγέλου

Χαίρε εχθρού νεκρωτής παλαμναίου.

Χαίροις Πάτερ Θεοδόσιε.

Ζέων εν τη καρδία, δι' αγάπης της θείας, προσήλθες ολική διανοία, τω Οσίω Γέροντι σοφέ, ώ σεαυτόν καθυπέταξας Όσιε, οία Χριστώ υπήκοος, Θεοδόσιε θερμώς ψάλλων

Αλληλούϊα.

Ήναψε τη ψυχή σου, ησυχίας ο πόθος, συνείναι κατά μόνας Κυρίω˙ ένθεν θεοκινήτω σπουδή, την Αργολίδα κατέλαβες Όσιε, και άσαρκος εν σώματι, ωράθης ακούων τοιαύτα

Χαίρε ο τύπος της εγκρατείας

Χαίρε ο μύστης της ησυχίας

Χαίρε αγρυπνίας το όμμα το σύντονον

Χαίρε συμπαθείας το στόμα το ήδιστον

Χαίρε ύψος ότι έφθασας θεωρίας πρακτικής

Χαίρε βάθος ότι έγνωκας επιπνοίας θεϊκής

Χαίρε της Αργολίδος θεοφόρος οικήτωρ

Χαίρε των σων τεκνίων αρωγός και συλλήπτωρ

Χαίρε μορφή τοις πάσιν αιδέσιμος

Χαίρε πατήρ ημών και διδάσκαλος

Χαίρε λαμπτήρ του Ναυπλίου και Άργους

Χαίρε φωστήρ Τριλαμπούς θείου φάους.

Χαίροις Πάτερ Θεοδόσιε.

Θεία ομφή κατείδες, Θεοδόσιε Πάτερ, τον μέγαν Βαπτιστήν του Σωτήρος, και πτερωθείς τη θέα αυτού, ναόν ιερόν τούτω ωκοδόμησας, ναόν γαρ θείου Πνεύματος, αυτόν προκατέστησας ψάλλων.

Αλληλούϊα.

Ιαμάτων την χάριν, δεδεγμένος πλουσίαν, την κλήσιν εκ των έργων εκτήσω, Ιαματικός και γαρ καλή, και μέγας εν θαύμασι Θεοδόσιε, ιάσαι γαρ τους πάσχοντας, και διασώζεις τους βοώντας.

Χαίρε ο μέγας εν θαυμασίοις

Χαίρε ο ένδοξος εν Οσίοις

Χαίρε ο πηγάζων απαύστως ιάματα

Χαίρε ο εκτρέπων του σκότους τον άρχοντα

Χαίρε γέρας πολυτίμητον των οσίων αρετών

Χαίρε μέτοχος περίδοξος ουρανίων αγαθών

Χαίρε ότι κατείδες τον Πρόδρομον Ιωάννην

Χαίρε ότι παρέχεις την σωτηρίαν χάριν

Χαίρε Χριστού εκφαίνων το εύσπλαγχνον

Χαίρε εχθρού απείργων την έφοδον

Χαίρε δι’ ου ο Βελίαρ στενάζει

Χαίρε προς ον Πελοπόννησος κράζει

Χαίροις Πάτερ Θεοδόσιε.

Κήρυκες γεγονότες, των οσίων σου έργων, οι χάριτος της σης μετασχόντες, διεβόησαν πανταχού, των σων θαυμάτων θεοφόρε την δύναμιν, ένθεν πλείστοι προσήλθον σοι, συν σοι Πάτερ Χριστώ βοώντες.

Αλληλούϊα.

Λάμπων εν Αργολίδι, ισαγγέλω ασκήσει, Μονήν Πάτερ αγίαν εγείρεις, εν η Μοναστών υφηγητής, και υποφήτης θείος εχρημάτισας, Θεώ γαρ καθωδήγησας, τους φοιτητάς σου εκβοώντας.

Χαίρε φωτός αΰλου ταμείον

Χαίρε θεσμών οσίων πυξίον

Χαίρε της εξ έργων σοφίας προτύπωσις

Χαίρε της μελλούσης αξίας προδήλωσις

Χαίρε κλήμα το κατάκαρπον της ασκητικής ζωής

Χαίρε πλούτος θεοβράβευτος κοινωνίας θεϊκής

Χαίρε ότι εδείχθης Μοναζόντων αλείπτης

Χαίρε ότι πασχόντων τας ψυχάς αγαθύνεις

Χαίρε σοφώς ιθύνων προς Κύριον

Χαίρε χαράν βραβεύων σωτήριον

Χαίρε παθών ισχυρός καθαιρέτης

Χαίρε εχθρών νοητών καταπέλτης

Χαίροις Πάτερ Θεοδόσιε.

Μέγας εν τη ασκήσει, και πολύς εν φρονήσει, εδείχθης Θεοδόσιε Πάτερ. Εντεύθεν μειζόνων αμοιβών, παρά Θεού ηξιώθης μακάριε, ευεργετών τους άπαντας, και συγκινών Κυρίω ψάλλειν˙

Αλληλούϊα.

Νύκτωρ κατ' όναρ ώφθης, τω θεόφρονι Πέτρω εκφαίνων σου τον όσιον βίον. Ος τη οράσει καταπλαγείς, Τριάδος σε θεράποντα εκήρυττε. Μεθ' ου Πάτερ ικέτευε, υπέρ ημών των σοι βοώντων.

Χαίρε χαρίτων θείων εστία

Χαίρε οσίων πόνων κινύρα

Χαίρε Παρακλήτου υπέρτιμον σκήνωμα

Χαίρε μοναζόντων ακλόνητον στήριγμα

Χαίρε ότι διαλέλυκας των σκανδάλων την αχλύν

Χαίρε ότι εβεβαιώσας Πέτρον τον θεοειδή

Χαίρε εύοσμον κρίνον αρετών ουρανίων

Χαίρε άρωμα θείον εξ ιδρώτων αγίων

Χαίρε οσμή της θείας ασκήσεως

Χαίρε ακτίς μεθέξεως κρείττονος

Χαίρε δι’ ου οι Αργείοι σκιρτώσι

Χαίρε προς ον Ναυπλιείς εκβοώσι

Χαίροις Πάτερ Θεοδόσιε.

Ξενωθείς τη ση όψει, και τοις ρήμασι Πάτερ, ο Βύζαντος κλεινός Ποιμενάρχης, ως κατείδέ σε ξενοπρεπώς, του σου βίου ηγάσθη την λαμπρότητα, και ένθους ανεκραύγαζε, τω σε δοξάσαντι Κυρίω.

Αλληλούϊα.

Όλος έκθαμβος ώφθη, Πέτρος ο θεοφόρος, ώ τόπω συνηντήθηκε Πάτερ. Άνθρακας γαρ κρατών ταις χερσίν,

αφλέκτως τω ιματίω σου Όσιε, θυμίαμα προσήγαγες, ευλαβώς τούτω εκβοώντι.

Χαίρε λαμπάς οσίων καμάτων

Χαίρε πυρσός πλουσίων θαυμάτων

Χαίρε ζωηφόρου πυρός ευναστήριον

Χαίρε ψυχοφθόρων σκανδάλων σβεστήριον

Χαίρε άνερ θεοφόρητε, των Οσίων καλλονή

Χαίρε όργανον της χάριτος, και πασχόντων προσφυγή

Χαίρε ότι τω Πέτρω συνεδέθης τω θείω

Χαίρε ότι εχρίσθης ιερέων τω μύρω

Χαίρε σεπτών αρετών γεώργιον

Χαίρε ηθών αγαθών λαμπάδιον

Χαίρε δι’ ου άπαν σκάνδαλον φεύγει

Χαίρε προς ον πας νοσών καταφεύγει.

Χαίροις Πάτερ Θεοδόσιε.

Περιβόητος πάσιν, αρετών τη εκφάνσει, και πλήθεσι θαυμάτων ωράθης. Καθάρας γαρ θεόφρον τον νουν, της θεϊκής επληρώθης ελλάμψεως, πάσι παρέχων τα πρόσφορα, Θεοδόσιε κραυγάζων.

Αλληλούϊα.

Ράον Πάτερ ανύσας, εγκρατείας τους πόνους, μετέστης προς την άπονον λήξιν, την σην ανάλυσιν προϊδών, προ τριών ημερών Αγίω Πνεύματι, και προς Θεόν ανέδραμες, ευλογών τους σοι εκβοώντας.

Χαίρε Οσίων των πάλαι ίσος

Χαίρε Πατέρων ενθέων τύπος

Χαίρε δωρημάτων αγίων κειμήλιον

Χαίρε ευσεβούντων θερμόν καταφύγιον

Χαίρε ότι την σην κοίμησιν προηγόρευσας σαφώς

Χαίρε ότι μεταβέβηκας εκ της γης προς ουρανόν

Χαίρε των αιωνίων αγαθών κληρονόμος

Χαίρε των φοιτητών σου οδηγός θεοφόρος

Χαίρε ζωής αλήκτου συμμέτοχος

Χαίρε χαράς της άνω συνέστιε

Χαίρε ορών αθεάτων τα κάλλη

Χαίρε κακών διαλύων τα βάρη.

Χαίροις Πάτερ Θεοδόσιε.

Σην ως έγνωσαν Πάτερ, φοιτητών σου ο δήμος, μετάστασιν εν θρήνοις εβόων. Πού καταλίπη τανύν ημάς, ους ώδε ως Πατήρ καλός συνήγαγες. Άλλ’ όμως Πάτερ Όσιε, άνωθεν σκέπε τους βοώντας.

Αλληλούϊα.

Τη οσία ταφή σου, ο μακάριος Πέτρος, συνήλθε συν πάση Εκκλησία, και ύμνοις και ωδαίς πνευματικαίς, προέπεμψαν το άγιον σκήνός σου, μεθ' ών, ώ Θεοσόσιε, βοώμέν σοι εν ευλαβεία.

Χαίρε το κλέος των Αθηναίων

Χαίρε το σθένος των Ναυπλιέων

Χαίρε των Αργείων σεμνόν εγκαλλώπισμα

Χαίρε Αργολίδος απάσης το σέμνωμα

Χαίρε ότι των καμάτων σου δρέπη ήδη τους καρπούς

Χαίρε ότι βλύζει άπασιν ιαμάτων ποταμούς

Χαίρε Πελοποννήσου ουρανόφωτος στύλος

Χαίρε των μοναζόντων θεοφώτιστος λύχνος

Χαίρε πολλών παραλύτων σύσφιγξις

Χαίρε δεινώς αβλεπτούντων ίασις

Χαίρε θυμόν ατακτούντων παιδεύων

Χαίρε ορμήν δυσσεβούντων ελέγχων.

Χαίροις Πάτερ Θεοδόσιε.

Ύμνον άδων Κυρίω, τον τρισάγιον Πάτερ, ομού συν τοις Αγγέλοις αλήκτως, βλέψον εξ ύψους νυν εφ' ημάς, εν

αγάπη πατρική τα τέκνα σου. Και δίδου ημίν πάντοτε, την ευλογίαν σου τοις βοώσιν.

Αλληλούϊα.

Φύλαξ έσο και σκέπη, τη αγία Μονή σου, θερμώς ανακειμένη σοι Πάτερ. Ιδού γαρ ως νοσσία αεί, υπό τας πτέρυγας τας σας προστρέχομεν, ως άνω βελών του όφεως, ρυώμεθα αναβοώντες.

Χαίρε Μονής σου θερμός προστάτης
Χαίρε Κυρίου ο παραστάτης
Χαίρε ο τοις πάσι παρέχων βοήθειαν
Χαίρε ο ελκύων εχθρού την επήρειαν
Χαίρε αρωγός και έφορος ποίμνης σου της λογικής
Χαίρε υποφήτης άριστος γεωργίας ψυχικής
Χαίρε ότι θαλάσσης καταπαύεις τον σάλον
Χαίρε ότι διώκεις παν γεώδες και φαύλον
Χαίρε στερρόν της Μάνδρας σου έρεισμα
Χαίρε σεπτόν των τέκνων σου κλέϊσμα
Χαίρε εν γη βοηθών και θαλάσση
Χαίρε ταχύς εις αντίληψιν πάσι

Χαίροις Πάτερ Θεοδόσιε.

Χάριν την πατρικήν σου, μηδαμώς αποστήστης, παμμάκαρ αφ’ ημών των σων τέκνων. Ει γαρ λειψάνων σου των σεπτών, δι’ αμαρτίαν πάλαι εστερήθημεν, άλλ’ ουν τω θείω τάφω σου, προσπίπτοντες Θεώ βοώμεν.

Αλληλούϊα.

Ψάλλοντες του σου βίου, τας λαμπράς αριστείας, αεί τη ση προστρέχομεν σκέπη. Συ γαρ Πατήρ ημών συμπαθής, και ημείς Θεοδόσιε τεκνία σου, και θεία σου χρηστότητι, πιστώς θαρρούντες εκβοώμεν.

Χαίρε Οσίων καύχημα θείον

Χαίρε Πατέρων το εκμαγείον

Χαίρε πρεσβευτά προς Θεόν ημών κράτιστε

Χαίρε οδηγέ των τεκνίων σου άριστε

Χαίρε όρμος ακλυδώνιστος των εν σάλω πειρασμών

Χαίρε τείχος ακαθαίρετον κατ’ εχθρών πολυειδών

Χαίρε θεοδωρήτων δωρεών χορηγία

Χαίρε των σε υμνούντων αληθής προστασία

Χαίρε δι’ ου παθών ιαθήσομαι

Χαίρε δι’ ου φωτός πληρωθήσομαι

Χαίρε σεπτός ιατήρ της ψυχής μου

Χαίρε θερμός αρωγός της ζωής μου

Χαίροις Πάτερ Θεοδόσιε.

Ώ τρισόλβιε Πάτερ, Θεοδόσιε θείε, ομόσκηνε απάντων Αγίων (εκ γ') δέχου ημών τας φωνάς, και πάρεχε εκάστω τα αιτήματα, χαράς δε πλήρου κρείττονος, τους ευλαβώς Θεώ βοώντας.

Αλληλούϊα.

Και αύθις το˙ Κοντάκιον. Ήχος πλ. δ' Τη υπερμάχω.

Τη θεοσδότω δωρεά καλλωπιζόμενος Των ιαμάτων αναβλύζεις χάριν άφθονον Τοις προστρέχουσι τη σκέπη σου θεοφόρε. Άλλ' ως δόξης κοινωνός της υπέρ έννοιαν Μη ελλείπης πάσης θλίψεως λυτρούμενος τους βοώντάς σοι, χαίροις Πάτερ Θεοδόσιε.

Δίστιχον.

Χαίρε Θεοδόσιε σοι εκβοώντα

Γεράσιμον δόσεσι πλούτισον θείαις.

